Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XLIV. De magnitudine animi & beneficentiâ Helenae.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

ἀληθὴς κατέχει, ἐν αὐτῷ ἄντρῳ τοὺς αὐτοῦ θιασώτας μυεῖν τὰς ἀπορρήτους τελετὰς τὸν τῶν ὅλων σωτῆρα. βασιλεὺς δὲ κἀνταῦθα παντοίοις ἀναθήμασί τε καὶ κόσμοις τὸν μέγαν ἐγέραιρε βασιλέα. καὶ δὴ δύο ταῦτα μνήμης ἐπάξια αἰωνίου, σεμνὰ καὶ περικαλλῆ καθιερώματα, ἐπὶ δύο μυστικῶν ἄντρων Ἑλένη Αὐγοῦστα Θεῷ τῷ αὐτῆς σωτῆρι, θεοφιλοῦς βασιλέως θεοφιλὴς μήτηρ, εὐσεβοῦς τεκμήρια διαθέσεως ἱδρύετο, δεξιὰν αὐτῇ βασιλικῆς ἐξουσίας τοῦ παιδὸς παρεχομένου. καρπὸν δ' ἐπάξιον ἡ πρέσβυς οὐκ εἰς μακρὸν ἀπελάμβανεν. ἀγαθοῖς μὲν ἅπασι τὸν πάντα τῆς ζωῆς χρόνον ἐπ' B αὐτῷ γήρως οὐδῷ διαπερανάμενη. λόγοις δὲ καὶ ἔργοις τῶν σωτηρίων παραγγελμάτων εὐθαλεῖς παρεχομένη καρπούς. κἄπειθ' οὕτω βίον εὐσταλῆ καὶ ἄλυπον, σώματός θ' ὁμοῦ καὶ ψυχῆς ἐν ἐρρωμένῳ φρονήματι διανύσασα· ἐφ' οἷς καὶ τέλος εὐσεβείας ἐπάξιον, ἀγαθῶν τε παρὰ Θεοῦ ἀμοιβὴν κἀπὶ τοῦ παρόντος εὕρετο βίου.

## ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

*Περὶ μεγαλοψυχίας καὶ εὐποιΐας τῆς Ἑλένης.*

Τὴν γάρ τοι σύμπασαν ἑῴαν μεγαλοπρεπείᾳ βασιλικῆς ἐξουσίας ἐμπεριελθοῦσα, C μυρία μὲν ἀθρόως τοῖς κατὰ πόλιν ἐδωρεῖτο δήμοις, ἰδίᾳ τε τῶν προσιόντων ἑκάστῳ· μυρία δὲ τοῖς στρατιωτικοῖς τάγμασι δεξιᾷ μεγαλοπρεπεῖ διένεμε. πλεῖστα δ' ὅσα πένησι γυμνοῖς καὶ ἀπεριστάτοις ἐδίδου. τοῖς μὲν, χρημάτων δόσεις ποιουμένη. τοῖς δὲ, τὰ πρὸς τὴν τοῦ σώματος σκέπην δαψιλῶς ἐπαρκοῦσα· ἑτέρους ἀπήλλαττε δεσμῶν, μετάλλων τε κακοπαθείᾳ ταλαιπωρουμένους. ἠλευθέρου τε πλεονεκτουμένους· καὶ πάλιν ἄλλους ἐξορίας ἀνεκαλεῖτο. D

## ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

*Ὅπως εὐλαβῶς ἐν ταῖς ἐκκλησίαις συνήγετο ἡ Ἑλένη.*

Τοιούτοις δῆτα λαμπρυνομένη, οὐδὲ τῆς πρὸς τὸν Θεὸν ὁσίας κατωλιγώρει. φοιτῶσαν μὲν αὐτὴν ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ διὰ παντὸς ὁρᾶσθαι παρέχουσα. λαμπροῖς δὲ κατακοσμοῦσα κειμηλίοις τοὺς εὐκτηρίους οἴκους. μὴ δὲ τοὺς ἐν ταῖς βραχυτάταις πόλεσι παρορῶσα ναούς. ἦν οὖν ὁρᾶν τὴν θαυμασίαν, ἐν σεμνῇ καὶ εὐσταλεῖ περιβολῇ τῷ πλήθει συναγελαζομέ-

A steriis discipulos suos in ipsa spelunca initiasse, verax testatur historia. Imperator verò hoc etiam in loco, variis ornamentis ac donariis summum omniũ Regem veneratus est. Atque hæc duo augusta ac pulcherrima monumenta, immortali memoria digna in duabus sacris speluncis, Helena Augusta, religiosi Imperatoris mater religiosissima, piæ devotionis argumenta Deo Servatori suo dedicavit, cùm filius Imperialis potentiæ subsidium ei conferret. Nec multò post grandæva mulier dignum laboribus suis præmium retulit. Nam cùm totum vitæ suæ tempus usq; ad prima senectutis limina in summa felicitate traduxisset, & divinorum mandatorum uberes fructus tum verbis tum operibus protulisset; ac propterea vitam doloris expertem cum summa mentis & corporis sanitate peregisset, tandem exitum pietati suæ convenientem, & mercedem bonorum operum in hac etiam vita à Deo consecuta est.

## Caput XLIV.

*De magnitudine animi & beneficentia Helenæ.*

Quippe dum totum Orientem cum regali magnificentia peragrat, tum civitatibus, tum privatis qui ipsam adibant, innumera beneficia acervatim contulit: innumera quoque militaribus numeris liberali manu distribuit. Pauperibus autem ac nudis & omni ope ac solatio destitutis quamplurima donavit; illis pecuniam, his vestem, ad tegendam corporis nuditatem prolixè suppeditans. Alios item vinculis, aut metallorum ærumnis afflictos exsolvit; quosdam violentia potentiorum oppressos liberavit: nonnullos etiam ab exsilio revocavit.

## Caput XLV.

*Quomodo Helena in Ecclesiis religiosè versata sit.*

Hujusmodi operibus cùm magnam sibi gloriam comparasset, pietatem erga Deum minime neglexit: Nam & assiduè, cunctis videntibus, in Ecclesiam ventitabat, & sacras ædes eximiis ornamentis decorabat, ne minimarum quidem urbium sacella despiciens. Itaque videre erat mulierem prorsus admirabilem, modesto ac decenti habitu unà cum reliqua multitudine versantem, suámque